A δικὴ δὲ διὰ τὸ προτίθεσθαι ἑτέρας διπλῆς ἐκ κώλων ιγ. ὧν τὸ α΄ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ β΄ ἰαμβικὸν τρίμετρον ἀκατάληκτον. τὰ γ ϛ ιγ, τροχαϊκὰ ἑφθημιμερῆ. τὰ δὲ λοιπὰ ἀκατάληκτα καὶ δίμετρα πλὴν τοῦ μονομέτρου παρατελευτοῦ. ἐν ἐκθέσει δὲ στίχοι δύο ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ, ὅμοιοι τοῖς ἑξῆς διπλῆς ἀμοιβαίας εἰσθέσεως ἑβδομήκοντα κώλοις, ὧν τελευταῖον, καὶ μινθῶσαι τὸν ξύστιδα κακβάς τινα λωποδυτῆσαι. ἐπὶ τῷ τέλει τῆς μὲν προῳδικῆς κορωνὶς, τῶν δὲ τετραμέτρων διπλῆ ἔξω νενευκυῖα. πρὸς τὸν Αἰσχύλον δὲ ὁ χορὸς ἀπὸ τῶν αὐτοῦ. ἔστι δὲ ἀρχὴ αὕτη Μυρμιδόνων Αἰσχύλου. τοῦτο δὲ παρὰ τὴν ὑπόνοιαν. Ἐκτὸς οἴσει.] ἀντὶ τοῦ ἐκτὸς τῶν ὡρισμένων λόγων. ἐμφαίνει δέ τι ὡρισμένον λέγειν. καὶ μάλιστα, ἐπ᾽ ἄκρου ἱπποδρόμου, ἐλαῖαι ἦσαν, καθ᾽ ἃς ἐξεφέροντο οἱ ὑποπίπτοντες κατὰ τὸν δρόμον. θέλει δὲ εἰπεῖν ἐκτὸς τῶν προκειμένων. ἢ ἐπεὶ εἶπεν ὁ Διόνυσος, τίς τῶν ἐλάας παρέτρεχεν, παρὰ τὸ παρέτραγε παίζων ὁ χορὸς τοῦτό φησι, μή σ᾽ ὁ θυμὸς ἁρπάσας ἐκτὸς οἴσῃ τῶν ἐλαιῶν. ἄλλως. ἐν τῷ τέλει τοῦ τόπου οὗ ἐτελεῖτο ὁ δρόμος ἐλαῖαι στιχηδὸν ἵστανται οὗσαι καλάντημα τοῦ δρόμου καὶ οὐδεὶς ἐπέκεινα τούτων ἐχώρει. ὅς τις οὖν πέρα τοῦ δέοντος ἔπραττέ τι, ἔλεγον ὡς ἐκτὸς τῶν ἐλαιῶν φέρεται. ἐπεκράτησε δὲ εἰς παροιμίαν. Χρώμενος τοῖς ἱστίοις.] λείπει ὁ καί. ἔστι γὰρ καὶ ἄκροισι χρώμενος. τοῦτο δὲ εἴρηκεν ἐκ μεταφορᾶς τῶν πλεόντων. οἳ ὅταν πνεῦμα B σφοδρὸν ἐμπνεύσῃ συστέλλουσι τὰ ἱστία. ἵνα μὴ τῇ βιαίᾳ τούτου φορᾷ ἀνατραπείη τὸ σκάφος. χαλῶντες δὲ ἤδη κατὰ μικρὸν ἄγουσι τὴν ναῦν εἰς τὸ πρόσω τοῦ πλοῦ. ἄκροισι δὲ τοῖς ἐν ἄκρῳ δεχομένοις τὸ πνεῦμα καὶ μὴ κατὰ τὸ μέσον. Πυργώσας.] αὐξήσας καὶ μεγάλα εἰπών. Τραγικὸν λῆρον] παρ᾽ ὑπόνοιαν ἀντὶ τοῦ τέχνην. τραγικὸν δὲ, ὅτι ἀλλήλους διαβάλλουσι κωμικοὶ καὶ τραγικοί.

C

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΕΤΑΡΤΟΥ,

### Σκηνὴ δευτέρα.

### ΑΙΣΧΥΛΟΣ, ΕΥΡΙΠΙΔΗΣ, ΔΙΟΝΥΣΟΣ.

Ἀναπαιστικοὶ Ἀριστοφάνειοι.

Bisetus. Εἴσθεσις ἀμοιβαία D διπλῆς ἐκ στίχων ο΄.

Αἰσ. Θυμοῦμαι μὲν τῇ ξυντυχίᾳ, καί μου
τὰ σπλάγχν᾽ ἀγανακτεῖ,
Εἰ πρὸς τοῦτον δεῖ μ᾽ ἀντιλέγειν. ἵνα μὴ φάσκῃ δ᾽
ἀπορεῖν με,
Ἀπόκριναί μοι. τίνος οὕνεκα χρὴ θαυμάζειν
ἄνδρα ποιητήν;
Εὐ. Δεξιότητος, καὶ νουθεσίας, ὅτι βελτίους τε
ποιοῦμεν
Τοὺς ἀνθρώπους ἐν ταῖς πόλεσι. Αἰσ. τοῦτ᾽ οὖν
εἰ μὴ πεποίηκας,
Ἀλλ᾽ ἐκ χρηστῶν, καὶ γενναίων μοχθηροτάτους ἀ-
πέδειξας,
Τί παθεῖν φήσεις ἄξιος εἶναι; Δι. τεθνάναι, μὴ τοῦ-
τον ἐρώτα.
Αἰσ. Σκέψαι τοίνυν γ᾽ οἵους αὐτοὺς παρ᾽ ἐμοῦ πα-
ρεδέξατο πρῶτον,
Εἰ γενναίους, καὶ τετραπήχεις, καὶ μὴ διαδρασι-
πολίτας,
Μήτ᾽ ἀγοραίους, μήτε κοβάλους, ὥσπερ νῦν, μη-
δὲ πανούργους.
Ἀλλὰ πνέοντας δόρυ, καὶ λόγχας, καὶ λευκολό-
φους τρυφαλείας
Καὶ πήληκας, καὶ κνημῖδας, καὶ θυμοὺς ἑπτα-
βοείους.
Εὐ. Καὶ δὴ χωρεῖ τουτὶ τὸ κακόν. Δι. κρανοποιῶν
αὖ μ᾽ ἐπιτρίψει.

## ACTVS IIII. SCENA secunda.

### ÆSCHYLVS, EVRIPIDES, BACCHVS.

*Anapæstici Aristophanij.*

ÆS. *EXcandesco equidem, ob talem con-*
*gressum: & mea viscera bile*
*Feruent: quòd oportet me cum isto contendere:*
*nam metuo, ne*
*Dicat, me pendere animi: quasi dubitem de mu-*
*nere palmæ.*
*Heus, responde: cur me decet admirari, quæso,*
E *Poëtam?*
EV. *Propter dexteritatem ingenij, & doctrinam,*
*qua meliores*
*Efficim⁹ ciues in Rep.* ÆS. *age ergo, nisi tu isthuc*
*Studuisti, éq; bonis & frugi fecisti improbiores:*
*Quo supplicio dignum te dicis?* BA. *morte: ist-*
*hunc rogitare*
*Noli.* ÆS. *vide sis ergo, quales primùm à me ac-*
F *ceperis ipsos,*
*Generosósne, & cubitorum quatuor: atque haud*
*suffugientes*
*Munia publica, non errones, neque maleficos,*
*neque vafros*
*Quales nunc sunt: sed spirantes hastam, galeaq;*
*decorum,*
*Et cristas, atque ocreas, animósque virorum se-*
G *ptibouinos.*
EV. *Atqui hîc illud malum erumpit.* BA. *si cri-*
*stas hîc iterum aptet,*

Σχόλια. Ἐκ χρηστῶν καὶ γενναίων.] ἀντὶ τοῦ ἀπὸ καλῶν κακοὺς ἐποίησας. μοχθηροὺς δὲ ἀντὶ τοῦ αἰσχροτέρους. Τεθνάναι. μὴ τοῦτον ἐρώτα.] οὐδὲ τοῦτο συκοφαντητέον ὅτι νεκρὸν λέγει τεθνάναι. ἴσως γὰρ πρὸς τὸ γελοῖον ἐπιτη-